Erasmus, Desiderius [Editor]: Novvm Testamentvm Iesv Christi, Graece Et Latiné: Adiectis Argvmentis Cvm Concordantiis In Margi-ne, & quadam adiuncta separatim utili tam explicatione uocabulor quorundam, quàm monstratione certorum ad intelli-gentiam ueritatis pertinen-tium locorum.

Basileæ: Apvd Nicolaum Bryling, 1566 Seite 707



# EPISTOLA PETRI APOSTOLI SECVNDA,

## CAPVT I.

Συμεὼν πέτρος δοῦλος καὶ ἀπόστολος ἰησοῦ χριστοῦ, τοῖς ἰσότιμον ἡμῖν λαχοῦσι πίστιν ἐν δικαιοσύνῃ τοῦ θεοῦ ἡμῶν, καὶ σωτῆρος ἰησοῦ χριστοῦ. χάρις ὑμῖν καὶ εἰρήνη πληθυνθείη ἐν ἐπιγνώσει τοῦ θεοῦ, καὶ ἰησοῦ τοῦ κυρίου ἡμῶν, ὡς πάντα ἡμῖν τῆς θείας δυνάμεως αὐτοῦ, τὰ πρὸς ζωὴν καὶ εὐσέβειαν δεδωρημένης, διὰ τῆς ἐπιγνώσεως τοῦ καλέσαντος ἡμᾶς διὰ δόξης καὶ ἀρετῆς, δι᾽ ὧν τὰ τίμια ἡμῖν καὶ μέγιστα ἐπαγγέλματα δεδώρηται, ἵνα διὰ τούτων γένησθε θείας κοινωνοὶ φύσεως, ἀποφυγόντες τῆς ἐν κόσμῳ ἐν ἐπιθυμίᾳ φθορᾶς. καὶ αὐτὸ τοῦτο δὲ σπουδὴν πᾶσαν παρεισενέγκαντες, ἐπιχορηγήσατε ἐν τῇ πίστει ὑμῶν τὴν ἀρετὴν, ἐν δὲ τῇ ἀρετῇ τὴν γνῶσιν, ἐν δὲ τῇ γνώσει τὴν ἐγκράτειαν, ἐν δὲ τῇ ἐγκρατείᾳ τὴν ὑπομονὴν, ἐν δὲ τῇ ὑπομονῇ τὴν εὐσέβειαν, ἐν δὲ τῇ εὐσεβείᾳ τὴν φιλαδελφίαν, ἐν δὲ τῇ φιλαδελφίᾳ τὴν ἀγάπην. ταῦτα γὰρ ὑμῖν ὑπάρχοντα καὶ πλεονάζοντα, οὐκ ἀργοὺς οὐδὲ ἀκάρπους καθίστησιν εἰς τὴν τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ

Symeon Petrus seruus & apostolus Iesu Christi, iis qui æquè preciosam nobiscum sortiti sunt fidem, per iusticiam Dei nostri, & seruatoris Iesu Christi. Gratia uobis & pax multiplicetur per agnitionem Dei, & Iesu Domini nostri, sic ut eius diuina uirtus omnia nobis largita est, quæ ad uitam ac pietatem pertinent, per agnitionem eius, qui uocauit nos per gloriam & uirtutem, per quæ preciosa nobis ac maxima promissa donata sunt, ut per hæc efficeremini diuinæ consortes naturæ, si refugeritis à corruptiõe, quæ est in mundo per concupiscentiã. Sed & in hoc ipsum omni adhibito studio, subministrate in fide uestra uirtutem, in uirtute uerò scientiam, in scientia uerò temperantiam, in temperantia uerò patientiam, rursus in patientia pietatem, in pietate autem fraternã charitatem, in fraterna uerò charitate dilectionem. Hæc enim cum uobis adsint, & exuberent, haud ociosos, nec in irritum laborantes efficiunt ad domini nostri Iesu Christi



UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG
© Universitätsbibliothek Heidelberg
https://digi.ub.uni-heidelberg.de/diglit/erasmus1566/0713
gefördert durch Baden-Württemberg